Ακαδημία Αθηνών / Academy of Athens

possessions/property, Δημόκριτος 40 οὔτε σώμασιν οὔτε χ ρ ή μ α σ ι ν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ πολυφροσύνῃ 50 ὁ χ ρ η μ ά τ ω ν παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος 78 χ ρ ή μ α τ α πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον 219 χ ρ η μ ά τ ω ν ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη 222 ἡ τέκνοις ἄγαν χ ρ η μ ά τ ω ν συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα 279.2-4 τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χ ρ ή μ α τ α, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χ ρ ή μ α τ α καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν 280 ἔξεστιν... παιδεῦσαί τε τοὺς παῖδας ... καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χ ρ ή μ α σ ι καὶ τοῖς σώμασιν αὐτῶν 281 ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χ ρ ή μ α σ ι 282 χ ρ η μ ά τ ω ν χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή (?) 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χ ρ ή μ α σ ι ν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος **4.** Πρᾶγμα, thing, Δημόκριτος 182 τὰ μὲν καλὰ χ ρ ή μ α τ α τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται.

**χρήμη.** Χρεία/ἀνάγκη, need/needfulness, Δημόκριτος 277 ὅτεῳ χ ρ ή μ η τεά ἐστι παῖδα ποιήσασθαι.

**χρῆναι 1.** Πρέπει/ταιριάζει, it must/it fits, Ξενοφάνης 1.13 χ ρ ὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας 22.1 πὰρ πυρὶ χ ρ ὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ Δημόκριτος 192 ἔστι ῥάδιον μὲν ἐπαινεῖν ἃ μὴ χ ρ ὴ καὶ ψέγειν 265.4 ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χ ρ ὴ ἐπαινεῖσθαι. || **χρεὼν ἐστί.** Διογένης 1.2 δοκεῖ μοι χ ρ ε ὼ ν ε ἶ ν α ι **2.** Πρέπει/ἐπιβάλλεται, it must/it is required, Ἡράκλειτος 35 χ ρ ὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι 80 εἰδέναι δὲ χ ρ ὴ τὸν πόλεμον ἐόντα ξυνὸν 114 ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χ ρ ὴ τῷ ξυνῷ πάντων Δημόκριτος 3 τὸν εὐθυμεῖσθαι μέλλοντα χ ρ ὴ μὴ πολλὰ πρήσσειν 6 γιγνώσκειν τε χ ρ ὴ ... ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται 65 πολυνοΐην, οὐ πολυμαθίην ἀσκέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*ειν* χ ρ ή 85 *ὁ ἀντιλογεόμενος ... ἀφυὴς ἐς μάθησιν ὧν* χ ρ ή 279 *τοῖς παισὶ μάλιστα* χ ρ ή *τῶν ἀνυστῶν δατεῖσθαι.* || **χρεών** (ἐστί) (τύπ. *χρειών*). Δημόκριτος 39 *ἀγαθὸν ἢ εἶναι* χ ρ ε ὼ ν *ἢ μιμεῖσθαι* 55 *ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λόγους, ζηλοῦν* χ ρ ε ι-ὼ ν 84 *ἑωυτὸν πρῶτον αἰσχύνεσθαι* χ ρ ε ὼ ν *τὸν αἰσχρὰ ἔρδοντα* 92 *χάριτας δέχεσθαι* χ ρ ε ὼ ν *προσκοπευόμενον κρέσσονας αὐτῶν ἀμοιβὰς ἀποδοῦναι* 191.18 *διόπερ τὰ μὲν μὴ δίζεσθαι* χ ρ ε ὼ ν 207 *ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι* χ ρ ε ὼ ν 225 *ἀληθομυθέειν* χ ρ ε ώ ν, *οὐ πολυλογέειν* 285 *γινώσκειν* χ ρ ε ὼ ν *ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον* **3.** Πρέπει/εἶναι καθῆκον, it must/it is a duty, Ἡράκλειτος 43 *ὕβριν* χ ρ ή *σβεννύναι μᾶλλον ἢ πυρκαϊὴν* 44 *μάχεσθαι* χ ρ ή *τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* Δημόκριτος 44 *ἀληθόμυθον* χ ρ ή *εἶναι* 258 *κτείνειν* χ ρ ή *τὰ πημαίνοντα* 261 *ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν* χ ρ ή *καὶ μὴ παριέναι.* || **χρεών** (ἐστί). Δημόκριτος 259.3 *οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι* χ ρ ε ὼ ν *εἶναι ποιεῖν.* || **τὰ χρὴ ἐόντα.** Τὰ δέοντα/τὰ καθήκοντα, duties/obligations, Δημόκριτος 174.4 *ὃς δ' ἂν καὶ δίκης ἀλογῇ καὶ* τ ὰ χ ρ ὴ ἐ ό ν τ α *μὴ ἔρδῃ* 256 *δίκη μὲν ἔστιν ἔρδειν* τ ὰ χ ρ ὴ ἐ ό ν τ α, *ἀδικίη δὲ μὴ ἔρδειν* τ ὰ χ ρ ὴ ἐ ό ν τ α **4.** Πρέπει (κατὰ λογικὴ ἀνάγκη), it must (according to logical necessity), Παρμενίδης 6.1 χ ρ ὴ *τὸ λέγειν τε νοεῖν τ' ἐὸν ἔμμεναι* Μέλισσος 3 *ἄπειρον ἀεὶ* χ ρ ὴ *εἶναι* 8(2)-(6) *τοιαῦτα* χ ρ ὴ *αὐτὰ εἶναι ... εἶναι* χ ρ ὴ *ἕκαστον τοιοῦτον ... τοιαῦτα* χ ρ ὴ *εἶναι.* || Παρμενίδης 1.32 *τὰ δοκοῦντα* χ ρ ῆ ν *δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα* Μέλισσος 7(9) *κρίσιν δὲ ταύτην* χ ρ ὴ *ποιήσασθαι* Ἀναξαγόρας 4.1-20 χ ρ ὴ *δοκεῖν ἐνεῖναι πολλὰ ... ἐν τῷ σύμπαντι* χ ρ ὴ *δοκεῖν ἐνεῖναι πάντα χρήματα* 5 *γινώσκειν* χ ρ ὴ Δημόκριτος 155.2 *τί* χ ρ ὴ *διανοεῖσθαι.* || **χρεὼν ἐστι.** Παρμενίδης 2.5 *ἡ δ' ὡς οὐκ ἔστιν τε καὶ ὡς* χ ρ ε ὼ ν ἐ σ τ ι *μὴ εἶναι* 8.11-45-54 *ἢ πάμπαν πελέναι* χ ρ ε ὼ ν ἐ σ τ ι ν *ἢ οὐχὶ ... οὔτε τι βαιότερον πελέναι* χ ρ ε ό ν ἐ σ τ ι *... τῶν μίαν οὐ* χ ρ ε ώ ν ἐ σ τ ι ν.

**χρῆσθαι** (τύπ. *χρᾶσθαι*) **1.** Χρησιμοποιῶ/μεταχειρίζομαι, use, Ἡράκλειτος 104 *καὶ διδασκάλῳ* χ ρ ε ί ω ν τ α ι *ὁμίλῳ* Ἀναξαγόρας 4.10 *τὰ ὀνήιστα συνενεγκάμενοι εἰς τὴν οἴκησιν*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ